ἀπαραλλάκτως καὶ ὁ Δαμασκηνὸς Ἰωάννης φησὶ περὶ τοῦ ἀνθρώπου ἐν τῷ περὶ προγνώσεως καὶ προορισμοῦ κεφαλαίῳ, καὶ πρὸς τούτοις ἐπιφέρει. «Ὥσπερ αὖ πάλιν καὶ οἱ ἄγγελοι, μετὰ τὴν ἐκ προαιρέσεως τῆς ἀρετῆς ἐκλογήν, τὴν ἐν τῷ καλῷ διὰ τῆς χάριτος ἀμετακίνητον ἵδρυσιν. Ἔδει τοίνυν πρότερον δοκιμασθέντα τὸν ἄνθρωπον, ἀνὴρ γὰρ ἀπείραστος, ἀδόκιμος καὶ οὐδενὸς λόγου ἄξιος, καὶ τῇ f 175v πείρᾳ διὰ τῆς τηρήσεως τῆς || ἐντολῆς τελειωθέντα, οὕτω τὴν ἀφθαρσίαν, ἀρετῆς κομίσασθαι ἔπαθλον».

Τούτοις οὖν καὶ τοῖς τοιούτοις προσέχων μὴ λανθανέτωσάν σε ἢ πλανάτωσαν αἱ ἀναγωγαὶ καὶ ἀλληγορίαι. Ταῦτα γὰρ καὶ τὸ ὑποκείμενον οὐ φθείρουσιν καὶ εἰς ὑψηλοτέραν ἔννοιαν ἄγουσιν τὸν ἀκροατήν. Οἷά εἰσι καὶ τὰ τοῦ Ἑβραίου Φίλωνος, οὐρανὸν μὲν ἀλληγοροῦντα εἰς τὸν νοῦν, αἴσθησιν δὲ τὴν γῆν, ἀρετὴν δὲ τὸν παράδεισον, καὶ σχεδὸν ἅπασα ἡ μετὰ τὴν ἑξαήμερον αὐτῷ ἐξήγησις οὕτως ἐμεθοδεύθη. Ἥπερ ἐάν τις ὡς ἔχει φράσεως προσέχει, μὴ σκοπῶν τὸν ἐν αὐτῇ ἐγκείμενον νοῦν, ῥάδιον ἂν ἕτερόν τι να οὐρανὸν καὶ ἑτέραν γῆν ἐπινοῆσαι ἢ καὶ οὐθὲν πεφυκέναι τὰ ἐγκόσμια, ἀλλ' αὐτομάτῃ τὸ πᾶν φέρεσθαι. Ἀλλὰ ταῦτα πάντα ἤδη ἀφέντες, ὡς διώρυγάς τινας καὶ ὑπονόμους, ἐπ' αὐτὴν τὴν πηγήν, τὴν θεόπνευστόν φημι Γραφήν, χωρήσωμεν καὶ δαψιλέστερον ὁμοῦ καὶ διειδέστερον τοῦ νάματος ἀπολαύσωμεν. «Καὶ ἔπλασε, φησίν, ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν». Πνοὴν μὲν ζωῆς περιφραστικῶς τὴν ψυχὴν καλεῖ, ὡς ζωῆς παρεκτικήν, ἥν τινα καὶ ἐνέπνευσεν, ἤτοι ἐνέθηθηκεν ἐν τῷ ἀνθρώπῳ, ψυχὴν δὲ ζῶσαν αὖθις τὸ αὐτό φησιν ὡς καθολικώτερον. Καὶ ἴδωμεν τίνος χάριν ψυχὴν ζῶσαν μὲν ἐνταῦθα, ἐκεῖ δὲ πνοὴν ζωῆς, ἤγουν πνεῦμα, τὸ αὐτὸ καλεῖ. Ζητητέον οὖν πρῶτον τί ἐστι ψυχὴ καὶ τί ἐστι πνεῦμα. Καὶ πνεῦμά μέν ἐστι λεπτὴ καὶ ἄϋλος καὶ ἀσχημάτιστος ὕπαρξις. Ψυχὴ δὲ ἐπὶ μὲν ἀνθρώπων, πνεῦμα ζῶν σαρκὶ συγκραθὲν ἀσυγχύτως, ἐπὶ δὲ κτηνῶν, δύναμις ζωτικὴ σαρκὶ συνισταμένη καὶ συνδιαλυομένη. Σὰρξ δέ ἐστιν, οὐσία ῥευστὴ f 176r ἔμψυχος. || Οὔτε γὰρ σῶμα ἄνευ ψυχῆς λέγεται σάρξ, οὔτε πνεῦμα δίχα σώματος λέγεται ψυχή. Καὶ τοῦτο δῆλον μὲν καὶ ἐκ τῆς Ἰακώβου,

[1]) Ἐν τῇ ῷᾳ : Ἰωάννου τοῦ Δαμασκηνοῦ. [3]) Migne PG. 94,977. [21]) Γεν. 2,7. ἐν τῇ ῷᾳ : Μωϋσέως.

[12]) Φίλονος Α

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

φασκούσης «ὥσπερ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστι», καὶ ἐξ ἄλλων πολλῶν τῆς θείας Γραφῆς, μάλιστα δὲ ἐκ τῶν ᾀσμάτων τοῦ προφήτου Δαυίδ. Καὶ γὰρ οὗτος ὅταν περὶ μόνης τῆς ψυχῆς αὐτῷ ὁ λόγος, πνεῦμα ἁπλῶς τὴν ψυχὴν ὀνομάζει, ὅτι «πνεῦμα, λέγων, διῆλθεν ἐν ἑαυτῷ» καὶ πάλιν «ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ»· ὅταν δὲ περὶ ἀμφοτέρων, ψυχῆς λέγω καὶ τοῦ ὀργάνου σώματος, φησίν· «εὐλόγει ἡ ψυχή μου τὸν Κύριον»· καὶ «αἴνει ἡ ψυχή μου τὸν Κύριον». Τούτοις δ' ἀκόλουθον καὶ τὸ τῆς μητρὸς τοῦ Κυρίου. «Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου». Κἀνταῦθα τὸ μεγαλύνει ἀντὶ τοῦ ἐπαινεῖ, δοξάζει· ὁ ἔπαινος δὲ καὶ ἡ δόξα ἐξ ἀμφοτέρων ἀποτελεῖται. Ἀγαλλιᾶται δὲ τὸ πνεῦμα ἔνδον καὶ χωρὶς τοῦ σώματος. Οὐδ' ἐκεῖνο δήπου ἀνακόλουθον, τὸ ἐν τῷ Εὐαγγελίῳ εἰρημένον, «καὶ ὁ Λόγος σὰρξ ἐγένετο», ἤτοι σῶμα ἔμψυχον. Εἰ δέ που καὶ ψυχὴν κατ' ἰδίαν καὶ σάρκα ὡσαύτως καλεῖ ἡ Γραφή, καταχρηστικῶς τοῦτο ὑποληπτέον ἢ καὶ διὰ τὴν πρὸς ἄλληλα ἐν δυνάμει ἑνωτικὴν σχέσιν.

Ἐκ δὴ τούτων τῶν ῥηθέντων τρεῖς καταστάσεις ἐν τῷ ἀνθρώπῳ τελοῦνται. Εἰ μὲν γὰρ διόλου τὰ τοῦ πνεύματός τις διώκει, πνευματικὸς κατασκευάζεταί τε καὶ λέγεται, οὐχ ὡς ἀποβάλλων τὴν σάρκα, ἀλλ' ὡς ἐν σαρκὶ τὰ τοῦ πνεύματος ἐργαζόμενος. Εἰ δὲ εἰς τὰ τῆς σαρκὸς παντελῶς ἐκκλίνει πάθη, σαρκικὸς ἀποτελεῖται, ὡς λέγει ὁ Ἀπόστολος «ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός». Εἰ δὲ τὴν μέσην τούτων τέμνει ὁδόν, ψυχικὸς ὀνομάζεται, ὡς τὸ «ψυχικὸς || ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ»· f 176v
οὐ δέχεται δὲ δῆλον ὅτι ἐν ὅσῳ ἑαυτὸν ποιεῖ ψυχικόν· σχέσιν γάρ τινα ἔχει ἡ σὰρξ πρὸς τὰ γήϊνα καὶ ἄλογα, ὥσπερ τοὐναντίον ἡ ψυχὴ πρὸς τὰ οὐράνια καὶ θεῖα. Καὶ αὖθις ἐκ τούτων ἁπάντων δύο ἕτεραι φαίνονται, ψυχική τε καὶ πνευματική, αἵτινες τῇ σαρκὶ ἀπεδόθησαν, σῶμα μὲν ψυχικὸν λεγομένη, ἐν ὅσῳ ταῖς ἀνάγκαις τῆς φύσεως ὑπόκειται, πνευματικὸν δέ, ὡς μετὰ τὴν κοινὴν ἀνάστασιν ἄφθαρτον καὶ πάσης σωματικῆς ἀνάγκης ἀνώτερον καθιστάμενον, καθ' ἅ φησιν ὁ αὐτὸς αὖθις Ἀπόστολος. «Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν· ἔστι σῶμα ψυχικόν, καὶ ἔστι σῶμα πνευματικόν. Οὕτω καὶ

[1]) Ἰακ. 2,26. [6]) Ψαλμ. 102,1. [7]) Ψαλμ. 145,1. [8]) Λουκ. 1,47. [13]) Ἰωαν. 1,14. [22]) Γαλ. 5.17. [24]) Α΄ Κορ. 2,14. [32]) Α΄ Κορ. 15,44. ἐν τῇ ᾤᾳ : Παύλου.

[19]) ἀποβάλων Α

Ε.Υ.Δ.Δ.Σ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γέγραπται ἐγένετο ὁ πρῶτος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν». Καὶ οὐ πρῶτον τὸ πνευματικόν, ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. Ἐντεῦθεν τοίνυν σαφῶς μανθάνομεν, διατὶ εἶπεν ἡ Γραφὴ «καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν», ὅτι τε συνεκράθη τῷ σώματι τὸ πνεῦμα, καὶ ὅτι οὐκ ἐξ ἀρχῆς πνευματικὸν κατεσκεύασται τὸ τοῦ Ἀδὰμ σῶμα, ἀλλὰ ψυχικόν, τουτέστι δεκτικὸν φθορᾶς καὶ θανάτου, ἢ ψυχικὸν ὡς μέσον ἤτοι μήτε ἁμαρτητικὸν καθ' αὑτὸ μήτε ἀναμάρτητον, μάλιστα δὲ δι' ἀμφότερα.

Καὶ ταῦτα μὲν περὶ τούτου, μετὰ δέ τινα φησί. «Καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ καὶ ὕπνωσεν· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ» καὶ τὰ ἑξῆς. Ὅρα θνητῶν ἰδιώματα : ὁ κόρος τοῦ ὕπνου, ἡ τῆς πλευρᾶς ἀφαίρεσις καὶ ἀναπλήρωσις, τὸ ἄρρεν καὶ θῆλυ, ὁ διπλασιασμὸς τῶν προσώπων, ἅπερ οὐ συμβαίνουσιν ἐν τοῖς ἀθανά-
f 177r τοις. || Καὶ πάλιν· «καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν, καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστιν τοῦ κατανοῆσαι· καὶ λαβοῦσα ἡ γυνὴ τοῦ καρποῦ ἔφαγε· καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον». Καὶ ἐντεῦθεν σκοπῶμεν, ὅτι οὐ παντελῶς ἄφθαρτοι οἱ πρωτόπλαστοι· εἰ γὰρ ἄφθαρτοι, μετὰ δὲ τὸ φαγεῖν φθαρτοί, οὐκ ἂν ἠπατήθη ὁ Ἀδὰμ ὑπὸ τῆς γυναικός, ὁρῶν αὐτὴν μεταβληθεῖσαν ἐξ ἀφθαρσίας εἰς φθορὰν διὰ τὴν μετάληψιν· οὐδ' ἂν ἦλθεν ἡ γυνὴ ἀπαιτήσουσα, μὴ δυναμένη φθαρτὴ προσπελάσαι τῷ ἀφθάρτῳ, ἴσως οὐδὲ ἰδεῖν λεπτὸν καὶ μικροῦ δεῖν ἄϋλον σῶμα. Ἀλλὰ μή μοι παραγέτω τις τὴν μετὰ τὴν ἀνάστασιν οἰκονομικῶς τοῦ Χριστοῦ μετάληψιν, ὥσπερ οὐδὲ τὴν ἐπὶ τοῦ Ἀβραάμ, ἀσάρκου καὶ ἀσωμάτου ἔτι ὑπάρχοντος, ἵνα μὴ οὕτω καὶ τοῦ Ἀδὰμ οἰκονομικῶς ἢ κατὰ δόκησιν ἐσθίειν νομίσωμεν. Καὶ γὰρ ἅπαντες σχεδὸν οἱ θεῖοι Πατέρες δι' αἰσθητῆς βρώσεως λέγουσιν ἐκπεπτωκέναι τὸν Ἀδὰμ τῆς τρυφῆς τοῦ

9) Γεν.2,21. ἐν τῇ ᾤᾳ : Μωϋσέως. 12) σχόλιον ἐν τῇ κάτω ᾤᾳ : Ὅτι δὲ οὐκ ἄφθαρτος πάντῃ ὁ Ἀδὰμ πρὸ τῆς παραβάσεως, καὶ αὐτὴ ἡ τοῦ σώματος διοργάνωσις δηλοῖ· σχεδὸν γὰρ ἅπαντα τὰ μόρια καὶ ὄργανα τοῦ σώματος εἰς ἐπιτηδειότητα τοῦ φθαρτοῦ ᾠκονομήθη τῷ κτίσαντι καὶ οὕτω κατεσκεύασται· καὶ τὰ μὲν τῶν μᾶλλον εἰς ἐργασίαν, τὰ δὲ εἰς ἀπόλαυσιν, τὰ δὲ εἰς ἔκκρισιν. Μόνη δὲ ἡ διαφορὰ τοῦ ἄρρενός τε καὶ θήλεος διὰ τὴν παράβασιν γέγονε· καὶ διὰ τοῦτο οὐκ ἐξ ἀρχῆς, ἀλλὰ μετὰ τὴν παραγωγὴν τοῦ Ἀδάμ. Ταῦτα δὲ πάντα μετὰ τὴν κοινὴν ἀνάστασιν εἰς τὸ πνευματικώτερον μεταστοιχειωθήσονται· οὐ μὴν δὲ ἀποβληθήσονται, ἐπεὶ πῶς ἀνάστασις ὁ τῆς φύσεως ἀφανισμός; οὐδὲ γὰρ κωλύει ταῦτα πρὸς παντελῆ ἀφθαρσίαν, ἐπεὶ οὐκ ἂν παρήχθησαν. Ἐπιτήδεια μέντοι πρὸς τὴν τοῦ φθαρτοῦ καὶ ἀφθάρτου κατάστασιν. 14) Γεν. 3,6.

παραδείσου, καὶ διὰ τοῦτο καὶ εἰς τὴν εἴσβασιν τῶν ἁγίων νηστείαν τὴν ἀνάμνησιν τῆς τούτου ἐξορίας ἔθεντο, ἵνα μὴ καὶ ἡμεῖς λιχνεύσαντες τὰ ὅμοια τούτῳ πάθωμεν. Βεβαιοῦσι δὲ τοῦτο καὶ ὅταν λέγωσιν, ὅτι διὰ ξύλου ὁ Ἀδὰμ ἐξώσθη τοῦ παραδείσου καὶ διὰ ξύλου τοῦ σταυροῦ πάλιν εἰσήχθη. Ὅθεν καὶ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ ἐπιχειροῦσιν ἀποδεῖξαι τὸν Ἀδὰμ γευσάμενον τοῦ ξύλου, ᾗ καὶ ὁ νέος Ἀδὰμ ὁ Χριστὸς τὰς χεῖρας ἐπὶ σταυροῦ ἥπλωσε. Καὶ τοῦτό μοι δοκεῖ πάνυ ἁρμόδιον. Εἰ γὰρ μὴ διὰ ξύλου τὴν ἐντολὴν ὁ Ἀδὰμ || παρέβη, τίνος χάριν οὐ f 177v δι' ἑτέρας ὕλης αὐτὸν ὁ Χριστὸς ἐπανώρθωσεν, ἀλλὰ διὰ ξύλου; Εἰ δὲ λέγεις, ὅτι καὶ τὰ ξύλα ἄφθαρτα ὑπῆρχεν, ὧνπερ οἱ πρωτόπλαστοι μετελάμβανον, ἐξ ἀνάγκης καὶ μετὰ τὴν παγκόσμιον κρίσιν τε καὶ ἀποκατάστασιν τοῦτο ἀποδώσεις τοῖς δικαίοις, ὅπερ τῆς αἱρέσεώς ἐστι τοῦ δυσσεβοῦς Μαχουμετ· καὶ οὐ μόνον τοῖς δικαίοις ἀλλὰ καὶ τοῖς ἀδίκοις. Εἰ γὰρ δίκαιοι διὰ τοῦτο ἐσθίουσιν ἵνα ζῶσι, πάντως καὶ τοὺς ἁμαρτωλοὺς διὰ τοῦτο ἐσθίειν ἐπάναγκες. Ἀλλ' ἄπαγε· οὔτε ἄφθαρτον ὑπὸ ἀφθάρτου δαπανηθήσετ' ἄν ποτε, οὔτε φυτά εἰσιν ἐν τῷ οὐρανῷ καὶ ἐν τῷ ᾅδῃ· οἶμαι δὲ ἐν οὐδὲ ἁπάσῃ τότε τῇ γῇ. Τίς γὰρ ἡ χρεία τῶν τοιούτων μὴ ὄντός τινος τοῦ μεταλαμβάνοντος; Ὅπου γε διὰ τοῦτο οὐδὲ φωστῆρες ἐν τῷ οὐρανῷ ἔσονται, οὔτε σημεῖα καὶ καρποί, ἀλλὰ μία ἡμέρα ἐσαεὶ τοῖς δικαίοις, ὡς τὸ ἔμπαλιν τοῖς ἁμαρτωλοῖς ἡ νύξ· εἰ μή τις τρυφὴν τοῖς δικαίοις φήσετ' ἂν τὴν θεωρίαν τοῦ Κυρίου, ὡς τὸ «γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος», οὗπερ οἱ ἁμαρτωλοὶ παντελῶς ἠστέρηνται, ταῖς βασάνοις τοὐναντίον καταδαπτόμενοι αἰωνίως.

Ὅτι δὲ οὐδ' ὁ παράδεισος ἔξω τῆς ἑβδομάδος, δῆλον ἂν εἴη ἀπὸ τῆς θεοπνεύστου Γραφῆς λεγούσης. «Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν· καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα, ἃ ἐποίησε· καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησεν». Ἀλλὰ τί βούλεται τῷ νέῳ τούτῳ Θεολόγῳ, τῷ Συμεὼν φημί, ἡ κατὰ μέρος τῆς οἰκουμένης φυτεία τοῦ παραδείσου, εἰ ἅπας ὁ κόσμος ἄφθαρτος καὶ πληθῆναι μέλλων ὑπὸ τῶν κατ' ὀλίγον γινομένων ἀνθρώπων, εἰ μὴ

[1]) σχόλιον ἐν τῇ ᾤᾳ: πραγματικὴ καὶ ὁμολογουμένη ἀπόδειξις. [4]) σχόλιον ἐν τῇ ᾤᾳ: ὅρα μυστήριον τοῦ σταυροῦ! βεβαιοῦσι δὲ τοῦτο Τιμόθεος Ἀλεξανδρείας ἐν τῷ εἰς τὴν μεταμόρφωσιν λόγῳ καὶ ὁ ὁμολογητὴς Θεόδωρος ὁ Στουδίτης ἐν τῷ εἰς τὴν σταυροπροσκύνησιν καὶ ἄλλοι πλεῖστοι. [26]) Γεν. 2,1—2. ἐν τῇ ᾤᾳ: Μωϋσέως.

Ε.Υ. Δ.ης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

178r ὅτι οἱ μὲν τῶν ἀνθρώπων ἐν μείζονι εὐδαιμονίᾳ || ἔσονται, οἱ δὲ ἐν ἥττονι, ὡς αὐτὸς σαφέστατα ὁμολογεῖ; Ἀλλ᾽ οὐδὲ λῆξιν, ὡς ἔοικε, δίδωσι τῆς τῶν ἀνθρώπων αὐξήσεως, ἀλλ᾽ οὕτως ἀορίστως καὶ ἀμέτρως ἀφίησι φέρεσθαι ἐπ᾽ ἄπειρον, ὅπερ οὐχ ἁρμόζει τινὶ τῶν κτισμάτων. Ὅτι δὲ οὐδ᾽ ἀμέτοχος φθορᾶς ὁ παράδεισος, δῆλον ἐκ τοῦ εἰσπορεύεσθαι τὰ ἄλογα ἐν αὐτῷ ζῷα καὶ τὴν προσηγορίαν λαμβάνειν καὶ ἀπατᾶν ὡς ὁ ὄφις. Ἢ τάχα ἔχεις εἰπεῖν, ὅτι καὶ τὰ ἄλογα ἄφθαρτα ἐχρημάτιζον; Ἀλλ᾽ ἀντερεῖ σοι ὁ μέγας Βασίλειος ἐν τῇ πρώτῃ ὁμιλίᾳ τῆς ἐξαημέρου λέγων· «Ὅτε δὲ ἔδει λοιπὸν καὶ τὸν κόσμον τοῦτον ἐπεισαχθῆναι τοῖς οὖσι, προηγουμένως μὲν διδασκαλεῖον καὶ παιδευτήριον τῶν ἀνθρωπίνων ψυχῶν, ἔπειτα μέντοι καὶ ἁπαξαπλῶς τῶν ἐν γενέσει καὶ φθορᾷ ἐπιτήδειον ἐνδιαίτημα». Εἰ δὲ ἄφθαρτα, πάντως ὁμότιμα τῷ Ἀδὰμ κατὰ τοῦτο. Καὶ κατὰ τί λοιπὸν ὁ ἐν τιμῇ ὢν ἄνθρωπος «παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς»; Πρόδηλον γὰρ ὅτι ὁ ἄνθρωπος παρέβη τὴν ἐντολὴν οὐχὶ δὲ καὶ τὰ ἄλογα ζῷα. Πῶς ἐξ ἀφθαρσίας καὶ ταῦτα εἰς φθορὰν κατώλισθον; Ἀπίθανον, μᾶλλον δὲ ἀθέμιτον οἶμαι ἕτερον ἀνθ᾽ ἑτέρου κολάζεσθαι. Εἰ δὲ καὶ τοῦτο δώσομεν, ὅτι διὰ τὴν τοῦ Ἀδὰμ ἁμαρτίαν καὶ ταῦτα τῆς ἀφθαρσίας ἐκπεπτώκασιν, ἔδει λοιπὸν μηδὲ τοῦτο ἄδηλον καταλεῖψαι τὴν θείαν Γραφήν, μᾶλλον δὲ ἔδει εἰπεῖν, ὅτι καὶ τὰ κτήνη παρασυνεβλήθη τῷ ἀνθρώπῳ καὶ ὡμοιώθη αὐτῷ. Ἢ ἔχεις καὶ τοῦτο ἀλληγορεῖν; Ἀλλ᾽ ἐλέγχει σε ἡ τοῦ ὄφεως ἕρψις καὶ ἡ ἐκ τῆς γῆς αὐτῷ εἰσέτι τροφὴ καὶ αἱ λοιπαὶ κατὰ τῶν πρωτοπλάστων κατά-
178v ραι, ὅτι οὐ τροπολογία, ἀλλ᾽ || ἀληθῆ τὰ λεγόμενα. Οὐχ ἧττον καὶ ὁ ἀπόστολος Πέτρος «ἥξει δὲ ἡ ἡμέρα, λέγων, Κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οὐρανοὶ μὲν ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσεται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσονται». Καὶ πάλιν, «οὐρανοὶ πυρούμενοι λυθήσονται καὶ στοιχεῖα καυσούμενα τήκεται· καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ», ἴσως ἡ μετὰ ταῦτα ἀτρεψία τε καὶ ἀναμαρτησία. Χρὴ δὲ νοεῖν, ὅτι εἰ καὶ οὐρανοὺς εἶπε καινοὺς γενέσθαι καὶ γῆν ὡσαύτως καινήν, ἀλλὰ τὰ ὑπερουράνια ἀσάλευτα τηρηθήσονται καὶ τὰ καταχθόνια. Τὰ μὲν ὡς ἀπὸ καταβολῆς κόσμου τὴν εὐκοσμίαν λαβόντα, τὰ δὲ ὡς ἁμαρτωλῶν ἐνδιαίτημα τὴν

9) Migne PG. 29,13. ἐν τῇ φᾳ: Βασιλείου. 14) Ψαλμ. 48,13 25) Β' Πέτρ. 3,10. 12—13.

8) ἀντ' εἰρεῖ A 33) τὰ κατὰ καταχθόνια A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φθοράν, ὥς φησιν ὁ Δαυίδ· «οὐδὲ ὁ Θεὸς κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς». Οὐρανοὺς δὲ εἶπε πληθυντικῶς, διὰ τὰς διαφόρους τῶν ἄστρων κυκλοφορίας, γῆν δὲ τὸ πρόσωπον αὐτῆς· οὐ γὰρ ἅπασα κατακαήσεται, ὥς φησιν ὁ Δαυῒδ «καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς». Εἰ οὖν ὅ τε οὐρανὸς καὶ ἡ γῆ ἀνακαινισθήσεται, πάντως καὶ ὁ παράδεισος, μέρος τῆς γῆς ὑπάρχων· εἰ δὲ ἀνακαινισθήσεται, πάντως τὴν κρείττονα ἀνακαίνισιν, ἐπεὶ καὶ διὰ τοῦτο ἡ ἀνακαίνισις. Ἀνακαινίζονται δὲ ὁμολογουμένως τὰ φθαρτά, οὐ τὰ ἄφθαρτα. Τὰ γὰρ ἄφθαρτα ἀναλλοίωτα, καθό εἰσιν ἄφθαρτα. Καὶ τὶ λέγω περὶ τῶν οὔπω γενομένων, πίστει δὲ μόνῃ γινωσκομένων, ὁρῶντες αἰσθητῶς τοὺς ἐκεῖθεν ἐξερχομένους ποταμοὺς φθαρτοὺς τυγχάνοντας ; Ἀλλ' ἴσως ἐρεῖς, ὅτι καὶ ὁ παράδεισος μετὰ ταῦτα εἰς φθορὰν μετετράπη. Ἀλλὰ || τὰ τοῦ f 179r Ἀποστόλου Παύλου οὐκ ἐῶσιν ἡμᾶς τοῦτο λογισθήσασθαι, ἃ δῆτα πέπονθεν, εἶδέ τε καὶ ἤκουσεν ἁρπαγεὶς εἰς αὐτόν. Οὐδ' ἂν εἰς ἀνάπαυσιν τῶν ἁγίων ψυχῶν τουτὶ τὸ χωρίον ἐν τῷ νῦν αἰῶνι ἀπεκληρώθη, εἰ μὴ μετεῖχέ τινος ἀφθαρσίας. Φησὶ δὲ καί τις τῶν Πατέρων ἕτερος, ὅτι τὰ ἐκ τῶν φυτῶν τοῦ παραδείσου πίπτοντα πέταλα οὐ τοιαύτην δυσώδη σῆψιν ὑπομένουσιν, ἣν καὶ τὰ παρ' ἡμῖν φυτά, ἀλλ' εὐωδεστάτην· διὸ καὶ τὰ πλεῖστα τῶν ἀρωμάτων ἐν τοῖς ἀνατολικοῖς μέρεσιν ἀποτελοῦνται· ὅτι ἡ ἐκ τοῦ παραδείσου ἐξερχομένη πηγὴ πλημμυροῦσα τὴν ἐκ τῆς τοιαύτης σήψεως ἐκείνην εὐωδίαν τοῖς πλησιοχώροις ἀποπέμπει φυτοῖς. Ἀλλὰ περὶ μὲν τούτου τέως ἀμφιβόλως ἔχω, ἑτέρῳ δὲ πιθανωτέρῳ συντίθεμαι. Καὶ γὰρ Εὐφρόσυνόν τινα εὐλαβῆ μοναχὸν λέγουσιν ἐκ τοῦ παραδείσου εἰληφέναι μῆλα, ἃ πρωῒ μὲν βρωθέντα τὸ φθαρτὸν διαρρήδην ἐδήλωσαν, ὡς δὲ ὑπὲρ πᾶσαν ἰδέαν μήλων εὐωδίαν τε καὶ ὑγείαν παρασχόντα τὸ ἄφθαρτον.

Ὥστε μετεῖχε φθορᾶς ὁ πρωτόπλαστος, ὥς καὶ ὁ Δαυῒδ αὖθίς φησι : «Τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκει αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτει αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλοις». Ἐπεὶ πῶς βραχύ τι τῶν ἀγγέλων ἠλάττωται ; εἰ μὲν γὰρ πάντῃ ἄφθαρτος, ἐν οὐρανοῖς ἐτάχθη ἂν σὺν τοῖς ἀγγέλοις, ὥς μή τι αὐτῶν ἠλαττωμένος· εἰ δὲ πάντῃ φθαρτός, κατὰ πολὺ ἂν ἠλλάτωται τῶν ἀγγέλων καὶ οὐ βραχύ τι. Ἵνα δὲ μὴ μετὰ τὴν παράβασιν ἠλαττῶσθαι βραχύ τι || τῶν f 179v ἀγγέλων νομίσῃς, ἄκουσον τὸ ἐπαγόμενον· «δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου» καὶ

[1]) Ψαλμ. 53,23. [4]) Ψαλμ. 103,30. [28]) Ψαλμ. 8,5. ἐν τῇ φα : Δαυῒδ.
[34]) αὐτ. 6 ε.

Ε. ΔΑ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

τὰ ἑξῆς. Δῆλον δὲ ὅτι πρὸ τῆς παραβάσεως δεδόξασται καὶ τετίμηται καὶ ἄρχων τῶν ἀπηριθμημένων κτισμάτων κατεστάθη, ὡς ἐν τῇ Γενέσει γέγραπται. Ἀλλὰ τὸ «θανάτῳ ἀποθανεῖσθε», φησί, τὸ θνητοὶ ἔσεσθε δηλοῖ· ὥστε πρὸ τῆς παραβάσεως ἀθάνατοι ὑπῆρχον, καί, εἰ μὴ παρέβησαν τὴν ἐντολήν, οὐκ ἂν ἀπέθανον· καὶ μάρτυς ἐπὶ τοῦτο ἀξιόχρεως ὁ σοφώτατος Σολομὼν λέγων· «ἐπ' ἀφθαρσίᾳ ὁ Θεὸς τὸν ἄνθρωπον ἔκτισε, καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος ἐποίησεν αὐτόν· φθόνῳ δὲ διαβόλου θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν». Σύμφημι καὶ ἐγώ, ὅτι ἀθάνατοι ὑπάρχοντες θέσει καὶ χάριτι, παραβάντες τὴν ἐντολὴν τῆς χάριτος ταύτης ἐκπεπτώκασιν. Ὥστε εἰ τὴν ἐντολὴν ἐφύλαξαν, ἐβεβαιώθη ἂν ἐπ' αὐτοῖς ἡ χάρις, καθ' ἃ δὴ καὶ τοῖς ἀγγέλοις. Ἀλλ' ὅτι οὐδ' ἄγγελοι, καίτοι ἁπλοῖ ὄντες, φύσει ἀθάνατοι, οὐκ ἀπ' ἐμαυτοῦ, ἐκ δὲ τῶν δογμάτων τοῦ Δαμασκηνοῦ Ἰωάννου ἐρῶ· φησὶ γὰρ οὗτος. «Ἄγγελος τοίνυν ἐστὶν οὐσία νοερά, ἀεικίνητος, αὐτεξούσιος, ἀσώματος, Θεῷ λειτουργοῦσα, κατὰ χάριν ἐν τῇ φύσει τὸ ἀθάνατον εἰληφυῖα». Καὶ μετ' ὀλίγα· «ἀνεπίδεκτος μετανοίας, ὅτι καὶ ἀσώματος. Ὁ γὰρ ἄνθρωπος διὰ τὴν τοῦ σώματος ἀσθένειαν τῆς μετανοίας ἔτυχεν. Ἀθάνατος οὐ φύσει, ἀλλὰ χάριτι. Πᾶν γὰρ τὸ ἀρξάμενον, καὶ τελευτᾷ κατὰ φύσιν». Τὸ δὲ «ἀθάνατος οὐ φύσει, ἀλλὰ χάριτι», περὶ τῆς τῶν ἀγγέλων φύσεως ἐκληπτέον· τὸ γὰρ πρὸ τούτου περὶ τοῦ ἀνθρώπου διὰ μέσου εἴληπται τῷ Θεολόγῳ. Σκεπτέον κἀνταῦθα, ποίαν
f 180r σωματικὴν ἀσθένειαν || τῷ ἀνθρώπῳ νοεῖ, εἰ μὴ τὴν ἔλλειψιν τῆς ἀφθαρσίας; Οἱ μὲν γὰρ ἄγγελοι, ὡς ἄϋλοι, ἐξ αὐτῆς παραγωγῆς ἔσχον ἐν τῇ φύσει τὸ τέλειον· διὸ οὐδὲ ἔτυχον λόγου μετανοίας. Ὁ δὲ ἄνθρωπος, ἅτε σώματι περικείμενος καὶ τούτῳ συνθέτῳ, ταῖς κατ' ἐπιδόσεσι τοῦ τελείου τυγχάνειν ᾠκονομήθη, ὡς καὶ τῷ ἱερωτάτῳ Ματθαίῳ τούτῳ κατ' οὐδὲν ἐλλείποντι διηυκρίνηται ἐν τῷ πέμπτῳ κατὰ Ἰουδαίων λόγῳ. Εἰ οὖν οὐκ ἀθάνατος πάντη, δῆλον ὅτι οὐδὲ ἄφθαρτος καταλλήλως ὡς ἀποδέδεικται. Πῶς γὰρ ἄφθαρτος ὁ μετὰ ταῦτα φθαρείς; Οὐ γὰρ τοῦτο δώσομεν τὸ ἄτρεπὲς τῷ Θεῷ, ὥστε μεταβάλλειν τὰς φύσεις ἐκ μεταμελείας ἀπὸ τοῦ κρείττονος εἰς τὸ χεῖρον, εἰ καὶ

6) Σοφ. Σολ. 2, 23—24. 14) Ἐκδ. Ὀρθ. πίστεως II, Γ' παρὰ Migne PG. 94, 865—868· ἐν τῇ ᾤᾳ: Δαμασκηνοῦ 19) σχόλιον ἐν τῇ κάτω ᾤᾳ: δῆλον ὅτι ὁ μὲν ἅγιος Ἀθανάσιος φύσει θνητὸν φησὶ τὸν ἄνθρωπον ὡς μήπω λαβόντα τὴν ἀθανασίαν, ὁ δὲ Ἰωάννης ὁ Δαμασκηνὸς τὸν ἄγγελον κατὰ χάριν ἀθάνατον ὡς ἤδη λαβόντα τὴν ἀθανασίαν ἐν τῇ φύσει.

7) ἀϊδιότητος A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δυνατὰ αὐτῷ πάντα· ὥσπερ οὐδὲ τὴν τῶν δαιμόνων φύσιν μετέβαλεν. Ἐπ' ἀφθαρσίᾳ δὲ ὁ Θεὸς τὸν ἄνθρωπον ἐποίησε, τουτέστι δέδωκεν αὐτῷ χάριν καὶ δύναμιν, ὥστε, εἰ βούλοιτο, τῆς τῶν ἀγγέλων τάξεως καὶ ἀφθαρσίας τυχεῖν, καὶ ὅτι τοῦτο ἐβούλετο ὁ Θεὸς διαμεῖναι ἐν ἀφθαρσίᾳ τὸν ἄνθρωπον διὰ τὴν ἰδίαν ἀρετήν. Φθορὰ δὲ παρὰ τῇ Γραφῇ λέγεται καὶ ἡ ἁμαρτία, ὡς τὸ «ἐφθάρη δὲ ἡ γῆ ἐνώπιον τοῦ Θεοῦ καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας». Καὶ πάλιν, «διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασιν». Εἰκὼν δὲ τοῦ Θεοῦ κατὰ τοὺς θεολόγους μόνη ἡ ψυχή, οὐ τελεία ἀλλὰ μερική. Κατὰ γὰρ μόνην τὴν ἀϊδιότητα, ἤγουν τὴν ἀθανασίαν, καὶ ἐν ἑτέροις ἀμυδροῖς σκιάσμασίν ἐστιν εἰκών. Ἀλλὰ καὶ τὸ «ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου θανάτῳ ἀποθανεῖσθε», τὸ αὐτὸ ἡμῖν παρίστησιν, ὡς οὐ φύσει ἀθάνατος ὁ Ἀδάμ· καὶ γὰρ ἤρκει εἰπεῖν, «ἀποθανεῖσθε» ἁπλῶς, ἀλλὰ προσέθηκε «θανάτῳ», ἤτοι τελείως ἔσεσθε θνητοὶ ὡς πρὸ τῆς παραβάσεως ἐν μεταιχμίῳ ὑπάρχοντες διὰ τὴν θείαν χάριν καὶ τὸ αὐτεξούσιον, ἢ δ' αὐτὸν τὸν Θεὸν αἴτιον τοῦ θανάτου ποιήσαιμεν, ἢ οὐ τοῦτον ἀλλὰ κἂν τὴν ἁμαρτίαν. Τὸ γὰρ ἀθάνατον φύσει, πῶς ἐνδέχεται || ἀποθα- f 180v
νεῖν ; Εἰ ἐνδέχεται ἀποθανεῖν, οὐκ οὖν ἀθάνατον ἐξ ἀνάγκης τοῦτο λεκτέον. Ἀλλ' οὖν ὁ Θεὸς ἀπείραστος κακῶν. Ἡ δὲ ἁμαρτία μόνη τοιοῦτον οὐχ ἰσχύει· οὐ γὰρ τοῦτο δώσομεν τῷ ἀντικειμένῳ, ὥστε καὶ τοὺς φύσει ἀθανάτους δύνασθαι θνητοὺς ποιεῖν, ὥς φησιν ὁ Ἀρεοπαγίτης Διονύσιος ἐν τῷ Περὶ θείων ὀνομάτων κεφαλαίῳ δ'· «τὰ γὰρ φύσει ἄφθαρτα, οὐ φθείρονται, οἱ δαίμονες, ἀλλὰ τὰ δεκτικὰ φθορᾶς». Καὶ πάλιν. «Διὸ καὶ τὸν εἰκαῖον τῶν πολλῶν οὐκ ἀποδεχόμεθα λόγον οἵ χρῆναί φασι τὴν Πρόνοιαν καὶ ἄκοντας ἡμᾶς ἐπὶ τὴν ἀρετὴν ἄγειν. Τὸ γὰρ φθεῖραι φύσιν οὐκ ἔστι Προνοίας». Τί οὖν ἐστιν εἰπεῖν· οὔτε ὁ Θεὸς αἴτιος τούτου, εἰ μή τις εἴποι κατὰ συγχώρησιν, οὔτε ἡ ἁμαρτία μόνη, ἀλλὰ καθὸ σύνθετος ἐχρημάτιζεν ὁ ἄνθρωπος, ὑπέκειτο θανάτῳ καὶ κατὰ τοῦτο θνητὸς ἦν. Θάνατος γὰρ οὐδὲν ἄλλο ἐστὶ τοῦ ζῴου ἢ ἀνάλυσις εἰς τὰ ἐξ ὧν συνετέθη στοιχεῖα, ὥς φησιν ὁ αὐτὸς Διονύσιος. «Θνητὸς οὖν ὑπάρχων φύσει ὑπὸ τῆς θείας χάριτος ἐφυλάττετο ἀθάνατος. Ἐπιστοῦτο σοι τοῦτο Ἐνὼχ καὶ Ἠλίας,

⁶) Γεν. 6,11· ἐν τῇ φᾳ : Μωϋσέως. ⁷) Ψαλ. 13,1. ⁸) Ἡ φράσις «εἰκὼν δὲ τοῦ Θεοῦ....σκιάσμασίν ἐστιν εἰκὼν» εὕρηται ἐν τῷ περιθωρίῳ, οὖσα ἰδιόχειρος τοῦ συγγραφέως προσθήκη. ²¹) Ὁμοίως καὶ ἡ φράσις «ὥς φησιν ὁ Ἀρεοπαγίτης....οὐκ ἔστι Προνοίας» ἐν τῇ ἄνω φᾳ. ²²) ἐν τῇ φᾳ : Διονυσίου. Migne PG. 3,724. ²⁴) Περὶ θείων ὀνομάτων IV, 33. Migne αὐτ. 733.

ΙΩΑΝΝΙΝΑ 2006

θνητοὶ ὄντες καὶ ἀθάνατοι μέχρι συντελείας τηρούμενοι βουλήματι τοῦ παντοκράτορος Θεοῦ. Ἀλλ' εἴποις ἄν, πῶς φησιν ὁ Ἀπόστολος, ὅτι «διὰ τῆς ἁμαρτίας θάνατος ;» Καλῶς, εἰ μὴ γὰρ ἡμάρτομεν, οὐκ ἂν τῷ φυσικῷ θανάτῳ περιεπέσαμεν. Ὥστε συνήργησε καὶ ἡ ἁμαρτία, συγχωρήσει δῆλον ὅτι Θεοῦ, διὰ τὸ τοῦ ἀνθρώπου αὐτεξούσιον. Ἀλλ' αὖθις τὸν Θεὸν φήσεις καθιστάνειν αἴτιον τοῦ θανάτου, ὡς ἔμφυτον τῷ ἀνθρώπῳ θέντα τὸν θάνατον. Ἀλλ' εἰ μὲν ἦν ὁ θάνατος αὐθυπόστατος, δῆλον ὅτι ὁ Θεὸς τοῦτον ἐποίησεν. Ἐπεὶ δὲ θάνατος οὐδὲν ἄλλο ἐστὶν ἢ τῆς ζωτικῆς δυνάμεως στέρησις, οὐκ οὖν ὁ Θεὸς τοῦτον ἐποίησεν. Τὰ γὰρ ὑπὸ τοῦ Θεοῦ ποιηθέντα ὡς ἐπὶ τὸ πλεῖστον ἐνδέχεται ὁμοῦ εἶναι καὶ κοινωνεῖν ἀλλήλων ἐνεργείᾳ καὶ ποιότητι, ὡς ἐξ ἑνὸς ὄντα ποιητικοῦ αἰτίου. Ἐπὶ δὲ θανάτου καὶ ζωῆς τοῦτο ἀδύνατον, ὡς ἐν τῇ φύσει γνωριζόμενον, ὥσπερ καὶ φύσει ἄλογα λέγομεν || τὰ κτήνη καὶ φύσει ἀναίσθητον τὸν λίθον, ὅπερ τὸ τί μὴ εἶναι δηλοῖ. Εἰ οὖν ἔχει ἐγκαλεῖν ὁ λίθος τῷ δημιουργῷ, ὅτι καθ' αὐτὸν ἀκίνητος καὶ τὰ κτήνη ὅτι ἄλογα, ἐγκαλείτω καὶ ὁ ἄνθρωπος ὅτι θνητός. Ἀλλ' οὖν ταῦτα οὐκ ἐγκαλοῦσιν, οὔτε ἄνθρωπος ἄρα. Εὐχαριστεῖν δὲ μᾶλλον ὀφείλομεν τῷ δημιουργῷ, ὅτι μὴ ὄντας ἡμᾶς παρήγαγεν ἀγαθότητι καὶ κρείττονας τῶν λίθων καὶ τῶν κτηνῶν ἀπέδειξε καὶ θείας χάριτος μετέδωκεν.

---

## V.

## ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΝ

181r Πλεῖστα καταφορικῶς ἡμῖν ἔγραψας καὶ διὰ πλείστου, ἔτος γὰρ δεύτερον τουτί, προσποιῇ δ' ὅτι διὰ φιλίαν καὶ ἵνα μή σου καταγνῶμεν ἀδυναμίαν λόγου. Ἀλλ' ἴσθι ὅτι τοῖς αὐτοῖς ἐμπίπτεις, ἐν οἷς ἐγκαλεῖν ἡμᾶς οἴει. Καὶ γὰρ εἰ μετὰ τὸ ἐπιστεῖλαί σοι ἐνέστης διὰ λόγου εἴτε προφορικοῦ εἴτ' ἐπιστολιμαίου, εὖ ἂν εἶχε καὶ νῦν ὡς εἰκὸς τὰ σά. Εἰ δὲ τότε μὲν συνωμολόγεις μοι, νῦν δὲ συρφετὸν ἐγείρας δῆθεν κεφαλαίων ἐπιχειρεῖς ἀνασκευάσαι τὰ ἡμέτερα, κρῖνον αὐτὸς ἀπαθῶς. Ἐγὼ γὰρ οὐ κρίνω, ἵνα μὴ δῆθεν ὡς δικαζόμενοι ἐλεγχθείημεν. Πλὴν εἰ καὶ αὐτὸς ἐν τῷ ἐπιστολιμαίῳ λόγῳ καὶ τοῦτο φῇς μηδόλως κατὰ πάντα τρόπον ἀνταποστεῖλαί σοι ἐπιχειρήσειν, δι' ὃν τρόπον εἰ καὶ

1) Κῶδ. Ἀμβρ. 290 f. 181r—198r.

3) ἡμάρτωμεν A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οἶδα οὐ λέγω, ἀλλ' οὖν δεῖ με ὡς ἐν κεφαλαίῳ ἀπολογήσασθαι πρὸς τὰ σά, ἵν' ὥσπερ αὐτὸς πατρικῶς φροντίζεις τῆς ἡμετέρας ἐκ πλάνης ἐπιστροφῆς, οὕτως εἰκότως ἀντιπελαργώσομέν σοι, σεβασμιώτατε πάτερ. Δεῖ οὖν οὕτως ἑπόμενόν με τοῖς σοῖς καθ' ἑξῆς σοι ἀμείψασθαι συνεπτυγμένως ὡς οἷόν τε καὶ διηυκρινημένως, παρεὶς μὲν ὅσα ἐκ τῆς πρώτης ἐπιστολῆς δύνῃ συμβαλεῖν καὶ ὅσα συκοφαντεῖς ἐν τῇ ἑρμηνείᾳ τῶν γραφικῶν χρήσεων, μὴ ἐπιγινώσκων τὰ ἀναγινωσκόμενα, ὅσα τε ὡς ταὐτολογίαν καὶ σολοικισμόν σοι διήνυσται, διελεῖν δὲ τὰ λοιπά, || μᾶλλον δ' ἀπαριθμῆσαι ἐν ἰδίοις χωρίοις, τὰ ἰσοδυναμοῦντα ἅμα τιθέμενος ὥστε εὔληπτον εἶναι ἡμῖν τὴν ἐξήγησιν, οὕτως: f 181v

α) Ὅτι πλεῖστον χρόνον μεταξὺ τῆς δημιουργίας τοῦ Ἀδὰμ καὶ τῆς πρὸς αὐτὸν ἐντολῆς ἀπὸ σαυτοῦ ἐνόησας καὶ ὅτι μετὰ τὸ δοθῆναι τὴν ἐντολὴν ἅμα καὶ ὁ θάνατος χώραν ἔλαβεν. Δύο ἐντεῦθεν τὰ ἄτοπα, ἵνα μὴ εἴπω βλάσφημα. Τί γάρ, εἰπέ μοι, πρὸ τῆς ἐντολῆς ἐποίουν, εἰ οὐκ εὐθὺς μετὰ τὴν δημιουργίαν τὸν νόμον ἔλαβον; Πῶς δὲ καὶ οὐκ αἴτιον τοῦ θανάτου τὸν Θεὸν ποιεῖς, ὅπερ δοκεῖς φεύγειν, εἴπερ διὰ τῆς ἐντολῆς εἰσῆλθεν ὁ θάνατος καὶ οὐ διὰ τὴν ταύτης παράβασιν; Ἀλλ' ἄκουσον τί περὶ ἀμφοτέρων ὁ Θεολόγος φησὶ Γρηγόριος. «Ἐκπεπτώκαμεν, ἐπειδὴ παρέβημεν. Ἐνηστεύσαμεν, ἐπειδὴ μὴ ἐνηστεύσαμεν τοῦ ξύλου τῆς ζωῆς ὑποκρατηθέντες. Ἀρχαία γὰρ ἦν ἡ ἐντολὴ καὶ ἡμῖν ὁμόχρονος ψυχῆς οὖσα παιδαγωγία καὶ τρυφῆς σωφρόνισμα, ἣν ἐπετάχθημεν εἰκότως, ἵν' ὃ μὴ φυλάξαντες ἀποβεβλήκαμεν, φυλάξαντες ἀπολάβωμεν». Τὰ αὐτὰ δήπου καὶ ὁ μέγας Βασίλειος ἀποφαίνεται ἐν τῷ περὶ νηστείας λόγῳ λέγων. «Δυσωπήθητι τὴν πολιὰν τῆς νηστείας· ἡλικιῶτίς ἐστι τῆς ἀνθρωπότητος. Νηστεία ἐν τῷ παραδείσῳ ἐνομοθετήθη· τὴν πρώτην ἐντολὴν ἔλαβεν Ἀδάμ, «ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε». Τὸ δὲ «οὐ φάγεσθε» νηστείας ἐστὶ καὶ ἐγκρατείας νομοθεσία. Εἰ ἐνήστευσεν ἀπὸ τοῦ ξύλου ἡ Εὔα, οὐκ ἂν ταύτης νῦν ἐδεόμεθα τῆς νηστείας». Καὶ μετ' ὀλίγα. «Ἀλλὰ καὶ ἡ ἐν παραδείσῳ διαγωγὴ νηστείας ἐστὶν εἰκών· οὐ μόνον καθ' ὅτι τοῖς ἀγγέλοις ὁμοδίαιτος ὢν ὁ ἄνθρωπος διὰ τῆς ὀλιγαρκείας τὴν πρὸς αὐτοὺς ὁμοίωσιν κατώρθου, ἀλλ' ὅτι καὶ ὅσα ὕστερον ἡ ἐπίνοια τῶν ἀνθρώπων ἐξεῦρεν, οὔπω τοῖς ἐν τῷ παραδείσῳ διαιτωμένοις ἐπενενόητο· οὔπω οἰνοποσίαι, οὔπω ζῳοθυ-

[29]) Migne PG 31,165. [30]) αὐτόθι 186.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f 182r σίαι, οὐχ ὅσα τὸν νοῦν ἐπιθολοῖ τὸν ἀνθρώπινον. || Ἐπειδὴ οὐκ ἐνηστεύσαμεν, ἐξεπέσαμεν τοῦ παραδείσου. Νηστεύσωμεν τοίνυν, ἵνα πρὸς αὐτὸν ἐπανέλθωμεν. Οὐχ ὁρᾷς τὸν Λάζαρον πῶς διὰ νηστείας εἰσῆλθεν εἰς τὸν παράδεισον ; Μὴ μιμήσῃ τῆς Εὔας τὴν παρακοήν».

β) Ὅτι τελεία φὴς ἦν ἡ χάρις δοθεῖσα τῷ Ἀδὰμ καὶ ἀπηρτισμένη παντάπασιν εὐθέως. Εἰ δ' οὕτως, εἰς τί λοιπὸν συνετέλει ἡ ἐντολή ; Πῶς ἡ ἀθανασία καὶ ἀφθαρσία εἰς τοὐναντίον μετήχθη ;

γ) Ὅτι, δι' ὧν τινες εἶπον τὸν Ἀδὰμ ἐπανελθεῖν διὰ Χριστοῦ ὅθεν ἐκπέπτωκεν, εἰς τὴν πρώτην δῆλα δὴ ἀξίαν, δικαιοῦσθαι ἐπιχειρεῖς. Τοῦτο δὲ δηλοῖ, ὅτι εἰς τὸν παράδεισον αὖθις εἰσῆλθε καὶ ὅτι τὴν ἐλευθερίαν τὴν ἐκ τῆς ἁμαρτίας ἐλάβομεν ἅπαντες οἱ ἐκ τοῦ Ἀδὰμ διὰ τῆς εἰς Χριστὸν πίστεως καὶ ἐξουσίαν ἔχομεν τέκνα Θεοῦ γενέσθαι. Ταύτην τὴν ἀπολύτρωσιν ἡμεῖς καὶ στολὴν ἀφθαρσίας ὑπολαμβάνομεν, ὡς ἐκ τῆς εἰς τὸν ἄσωτον υἱὸν παραβολῆς ἔξεστί σοι μαθεῖν.

δ) Ὅτι τῷ τε Ἀδὰμ καὶ τοῖς ἀγγέλοις τοῖς ἐκπεπτωκόσι, τῷ μὲν τὸ ἄφθαρτον, τοῖς δὲ τὸ φωτεινὸν δοὺς ὁ Θεός, εἶτα λαβὼν ἀπ' αὐτῶν ἐξορίστους πεποίηκεν. Ἀλλὰ περὶ μὲν τῆς ἐξορίας καὶ ἡμεῖς πειθόμεθα, περὶ δὲ τοῦ προτέρου οὐδόλως· ἐλέχθη δὲ ἡμῖν καὶ περὶ τούτου. Πρὸς δὲ τούτοις φής, ὅτι καὶ τὴν ἀρχὴν ἀφῃρέθη τῶν ζῴων ὁ ἄνθρωπος, ὅπερ ψευδές. Καὶ γὰρ ἔτι τὰ ζῷα τῷ ἀνθρώπῳ ὑπείκει, καθὼς καὶ εὐλογῶν τοὺς περὶ τὸν Νῶε ὁ Κύριος ἔφη. Τὸ δὲ πάντα ποιεῖν καὶ μετασκευάζειν τὸν Κύριον οἰκείῳ βουλήματι, νοητέον τὸ ἐκτρέπειν σκιὰν θανάτου εἰς αἰώνιον ζωήν, καὶ οὐχ ὡς σὺ ὑπολαμβάνεις τὸ ἔμπαλιν. Πλὴν ὁ προφήτης Ἀμὼς τοῦτο περὶ τῆς ἐσαεὶ Προνοίας ἔφησε, λέγων οὕτω. «Κύριος ὁ ποιῶν εἰς ὕψος κρίμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκε, ποιῶν πάντα καὶ μετασκευάζων καὶ ἐκτρέπων εἰς τὸ πρωῒ σκιὰν καὶ ἡμέραν καὶ νύκτα συσκοτάζων, ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ προσώπου πάσης τῆς γῆς».

ε) Ὅτι ἰδίας ἑρμηνείας ποιοῦμεν ἐν τῇ Γραφῇ, οὐκ ἀκολουθοῦντες τοὺς πάλαι ἑρμηνεύσαντας, ὥσπερ δὴ πεποιήκαμεν καὶ ἐν τῷ ψαλμικῷ ῥητῷ «ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλοις», μὴ εἰδὼς ὅτι
f 182v τοῦτο ἴδιον τοῖς ἐξηγηταῖς καὶ ὅτι τοῦτο μόνον ἐπάναγκες || τηρεῖν, τὸ μὴ τὴν ἑρμηνείαν ἐναντιοῦσθαι ἔν τινι τὴν Γραφήν. Εἰ δὲ ἡμῶν κατηγορεῖς ὅτι οὐκ ἀρκούμεθα τῇ ἑρμηνείᾳ τοῦ Χρυσορρήμονος, ἐξε-

[13]) σχόλιον ἐν τῇ φᾳ : ὁ γὰρ Διονύσιος τὸ ᾀδόμενον, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν, προὔτεινεν. [22]) ἐν τῇ φᾳ : Δαμασκηνοῦ. [26]) Ἀμ. 5,7.

Ε.Υ.Δ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

στί σοι καὶ τούτου κατηγορεῖν, ὅτι οὐ τῷ Ἀποστόλῳ ἀκολουθεῖ. Ἀλλ' οὐ δεῖ· ὁ μὲν γὰρ εἰς τὸν Χριστὸν ἀναφέρει τὸ ῥητόν, ἐπεὶ τὰς ἡμετέρας ἀσθενείας αὐτὸς ἐβάστασεν, ὁ δὲ ἐπ' αὐτὸν τὸν ἄνθρωπον. Καὶ οὗτοι κατὰ μόνην τὴν θνητότητα ἠλαττῶσθαι φασὶ τὸν ἄνθρωπον, διὸ οὐδὲ ἐγκαλεῖν αὐτοῖς δεῖ ἐπειδὴ ἐν τούτῳ μόνῳ ἐξέλαβον τὸ βραχύ τι. Ἐγὼ δὲ πολλὰ εἰδὼς τὰ ἐλαττώματα μετὰ τὴν παράβασιν, οὐ μόνον γὰρ θάνατος ἀλλὰ καὶ ἄλλα ἀναρίθμητα πάθη σωματικά τε καὶ ψυχικά, τὸ βραχύ τι ἠλαττῶσθαι πρὸ τῆς παραβάσεως χρησίμως μοι δοκεῖ ἐκλαμβάνειν. Καθ' ἃ δὴ καὶ τῷ ἁγιωτάτῳ Νείλῳ Πατριάρχῃ Κωνσταντινουπόλεως δοκεῖ ἐν τῇ ἐξηγήσει τῆς παραβολῆς τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς. «Τὸν ἄνθρωπον χειρὶ Θεοῦ πλασθῆναι μὲν καὶ τῇ αὐτοῦ εἰκόνι τιμηθῆναι καὶ τῶν ἀγγέλων ἀποδεῖν ὀλίγον, κλαπῆναι δὲ τῇ συμβουλῇ τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου καὶ πονηροῦ». Τῷ τε σοφωτάτῳ Ζυγαβηνῷ, οὑτωσὶ φάσκοντι ἐν τῇ ἐξηγήσει τοῦ Ψαλτῆρος. «Μέμνηται καὶ τῶν ἐξ ἀρχῆς εὐεργεσιῶν τῶν εἰς τὸν ἄνθρωπον· πλασθεὶς γάρ, βραχύ τι παρ' ἀγγέλων ἠλάττωται διὰ τὴν συμπλοκὴν τοῦ σώματος· καὶ τοῦτο δὲ κατ' οἰκονομίαν, ἵνα ὅταν ἐπαίρηται διὰ τὸν νοῦν, συστέλλεται διὰ τὸν χοῦν. Εἰ γὰρ καὶ σώματος βριθόμενος ἀλαζονεύεται τοσοῦτον, τίς ἂν ἦν πολιτευόμενος δίχα σώματος ;» Σαφῶς οὗτος ἡμῖν ἄρα ὑπέδειξεν, ὡς διὰ τὴν συμπλοκὴν τοῦ σώματος πλασθεὶς ὁ Ἀδάμ, ἠλάττωται βραχύ τι τῶν ἀγγέλων, οὐ διὰ τὸν μετὰ τὴν ἐξορίαν θάνατον. Τὰ ὅμοια δήπου ἐν τούτῳ ἀποφαίνεται καὶ Νικηφόρος ὁ Βλεμμύδης, ὃν καὶ αὐτὸς οἶδας παρὰ τοῦ σοὶ τιμωμένου ὑμνῳδοῦ Θηκαρᾶ ἐν θεολογίᾳ ἐκθειαζόμενον. Εὗρον δὲ καὶ ἐν ἑτέρῳ Χρυσοστόμου τῶν σαλπίγγων ῥῆσιν ἔχουσαν οὕτως. «Ὅμως καὶ χωρὶς ἐνδυμάτων διέλαμπε τότε τὰ σώματα ἐκεῖνα. Ἀγαθὸς γὰρ ὢν ὁ Θεὸς βραχύ τι παρὰ τοὺς ἀγγέλους ἠλάττωσε τὸν ἄνθρωπον, ὡς ψάλλει Δαυΐδ, καὶ δόξῃ καὶ τιμῇ ἐστεφάνωσεν αὐτόν. Μὴ γὰρ πρὸς τὴν νῦν εὐτέλειαν ὅρα, ἀλλὰ τὴν πρώτην φαντάζου κατάστασιν». Οὐκ ἐναντιούμεθα τοίνυν ἡμεῖς τῷ Χρυσοστόμῳ, ἀλλὰ καὶ τὰ τούτου εὐγνωμόνως δεχόμεθα, καὶ εἴ τι σοφὸν τοῖς μεταγενεστέροις ἐξεύρηται οὐκ ἀποβαλλόμεθα. Ὅτι δὲ διὰ τὸ εἰπεῖν ἄγγελον ἐπὶ γῆς τὸν ἄνθρωπον, ἄφθαρτον τῷ σώματι τοῦτον ἐπενόησας, πάνυ τι διαπίπτεις τοῦ καθήκοντος, μὴ εἰδὼς τὴν γνώμην τῶν διδασκάλων, ὅτι τοὺς τὰς ἐντολὰς τοῦ Θεοῦ || ποιοῦντας, τοὺς δικαίους φημὶ καὶ ἐναρέτους, εἰώθα- f 183r

11) ἐν τῇ φα : Νείλου Πατριάρχου. 14) ἐν τῇ φα : Εὐθυμίου Ζυγαβηνοῦ. 25) ἐν τῇ φα : Χρυσοστόμου.

Ε.Υ.Δ.ι.ς Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

σιν οὕτω καλεῖν, ὥσπερ αὖ τοὺς ἐν τάξει ἡγεμόνων θεοὺς εἴωθεν ἡ Γραφὴ καλεῖν κατὰ τὸν Μωϋσῆν.

ς) Ὅτι καταδικάσας ὁ Θεὸς τὸν Ἀδὰμ θανάτῳ, ἐπὶ τῆς αὐτῆς αὐτὸν ἀφῆκεν ἀρχῆς. Ποίας δὲ οὐκ ἐδήλωσας. Ἀλλ' οὔτε ἀκόλουθος ἡ μαρτυρία, ἣν ἐπήγαγες.

ζ) Ὅτι ὥσπερ Ἐνὼχ καὶ Ἠλίας μετατεθέντες ἀπηθανατίσθησαν, οὕτω δεῖ νοεῖν ὅτι καὶ ὁ Ἀδὰμ ἀθάνατος ἦν. Ἀλλ' οὔτε ἐκεῖνοι εἰς αἰῶνα διαμενοῦσιν, ἀναιρεθήσονται γὰρ ὑπὸ τοῦ Ἀντιχρίστου καὶ αὖθις ἀναστήσονται, ὡς ἐν τῇ Ἀποκαλύψει τοῦ εὐαγγελιστοῦ Ἰωάννου εὑρήσεις, οὔτε Ἀδὰμ ἔμεινεν ἀθάνατος. Κἀντεῦθεν καὶ ἄκων ἡμῖν συνηγορεῖς· εἰ δὲ τοιοῦτος ἀναστήσεται μετὰ τὴν κοινὴν ἀνάστασιν, οἷος ἦν καὶ πρὸ τῆς παραβάσεως, ἐνδέχεται αὖθις κατὰ σὲ ἀποθανεῖν καὶ ἐν γῇ ἕξει τὸ πολίτευμα, οὐκ ἐν οὐρανοῖς. Ὁ δὲ Ἀναστάσιος δι' ὧν φησι τὸ ἄφθαρτον μόνον παριστᾷ. Ἡμεῖς δὲ τί ἁμαρτάνομεν, εἴπερ κρεῖττον ἐλπίζομεν τὸ σῶμα ἀνίστασθαι τῆς πρὸ τῆς παραβάσεως καταστάσεως καὶ μείζονος τυχεῖν τῆς ἀπολαύσεως; Ἢ οὐχὶ καὶ ὁ Ἀββᾶς Μακάριος, ὃν κατὰ σοῦ προήγαγες, τοῦτό φησιν; Οὐκοῦν σὺ αὐτὸς μᾶλλον ὁ ἀπιστῶν τὴν μέλλουσαν ἀφθαρσίαν, οὐχ ἡμεῖς ὡς ἀδιακρίτως κατηγορεῖς καὶ ἐντεῦθεν καταναγκάζεις ἡμᾶς πιστεύειν σοι τὰ ἄπιστα καὶ τῆς θείας Γραφῆς ἐναντία, τόν τε Θεὸν ποιεῖν αἴτιον τοῦ θανάτου, οὐ τὴν ἁμαρτίαν, ἐν τῷ λέγειν, ὅτι ἀθάνατος ἔμελλεν ὁ ἄνθρωπος καὶ μετὰ τὴν ἁμαρτίαν διαμένειν, εἰ μὴ οἰκονομίᾳ εἰσῆλθεν ὁ θάνατος, μὴ γινώσκων τὰ ἀναγινωσκόμενα. Ἄκουσον δὲ καὶ Ἀναστασίου, ὅπως τοῖς ἐπερωτῶσιν αὐτὸν ὀρθοδόξοις, εἰ || αἰσθητός ἐστιν ὁ παράδεισος ἢ νοητός, φθαρτὸς ἢ ἄφθαρ-
160v τος, ἀποκρίνεται. «Ὥσπερ δύο Ἱερουσαλήμ, λέγει, οὐράνιον καὶ ἐπίγειον, οὕτω καὶ δύο παραδείσους, ἕνα πνευματικὸν καὶ ἕτερον αἰσθητόν, ἐξ οὗ τὰ Νειλῷα ταῦτα καὶ Εὐφρατήσια ὕδατα ἐκπορεύονται ἐπὶ τῆς γῆς, ἔνθα ὁ Ἀδὰμ καὶ ἡ Εὔα καὶ ὁ ὄφις καὶ τὰ φυτά. Εἰ γὰρ τὸν ὄφιν καὶ τὰ φυτὰ καὶ τὰ ὕδατα ἀλληγορικῶς ἐκλάβοιμεν, πάντως που καὶ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν· καὶ ἀνατρέψομεν μᾶλλον δὲ ἀθετήσομεν τὴν θείαν Γραφήν. Ὥσπερ οὖν ὑπῆρχεν ὁ Ἀδὰμ μέσος φθορᾶς καὶ ἀφθαρσίας, τοιοῦτος ἦν καὶ ἔστιν ὁ παράδεισος». Ἐπάγει καὶ ἐν τῇ μετ' αὐτὴν ἐρωτήσει μάρτυρας τὸν σοφώτατον Νεμέσιον ἐπίσκοπον Ἐμέσης ἐν τῷ περὶ φύσεως ἀνθρώπου φάσκοντα οὕτω. «Τὸν ἄνθρωπον ἴσμεν ἐξ ἀρχῆς οὔτε θνητὸν ὁμολογουμένως, οὔτε ἀθάνατον γεγενῆσθαι, ἀλλ' ἐν μεθορίοις ἑκατέρας φύσεως, ἵνα, ἂν

[26]) Migne PG. 89,540. ἐν τῇ ῷᾳ: Ἀναστασίου. [35]) Migne PG. 40,513. 516. ἐν τῇ ῷᾳ : Νεμεσίου.

Ε.Υ.Δ.Δ.Σ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006